# PHILETAS COUS?

I [II ii 52D.; III G.–P.]

*οὐ κλαίω ξείνων σε φιλαίτατε· πολλὰ γὰρ ἔγνως*
*καλά, κακῶν δ᾽ αὖ σοι μοῖραν ἔνειμε θεός.*

II [II ii 52D.; IV G.–P.]

*γαῖαν μὲν φανέουσι θεοί ποτε, νῦν δὲ πάρεστιν*
*αἰψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.*

# SIMIAS

I [24B., 12D.]

*οὐκέτ᾽ ἀν᾽ ὕλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,*
*ἠχήεσσαν ἵεις γῆρυν ἀπὸ στομάτων,*
*θηρεύων βαλιοὺς συνομήλικας ἐν νομῷ ὕλης·*
*ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.*

II [25B., 13D.]

*τάνδε κατ᾽ εὔδενδρον στείβων δρίος εἴρυσα χειρί*
*πτώσσουσαν Βρομίας οἰνάδος ἐν πετάλοις,*